κεῖται γὰρ ὁ Δ τῶν ΑΒΓ τὸν ἐλάχιστον κοινὸν μέτρον· οὐκ ἄ-
ρα ἔσονται τινὲς τῶν ΕΖΗ ἐλάσσονες ἀριθμοὶ ἐν τῷ
αὐτῷ λόγῳ ὄντες τοῖς ΑΒΓ. οἱ ΕΖΗ ἄρα ἐλάχιστοί εἰ-
σι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς ΑΒΓ· ὅπερ ἔ-
δει δεῖξαι :-

λϛ Δύο ἀριθμῶν δοθέντων, εὑρεῖν ὃν ἐλάχιστον μετροῦ-
σιν ἀριθμόν. ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ ΑΒ·
δεῖ δὴ εὑρεῖν ὃν ἐλάχιστον μετροῦσιν ἀριθμόν. οἱ ΑΒ
γὰρ ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν ἢ οὔ. ἔστω-
σαν πρότερον οἱ ΑΒ πρῶτοι πρὸς ἀλλήλους. καὶ ὁ
Α τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω· οἱ
ΑΒ ἄρα τὸν Γ μετροῦσιν. λέγω δὴ ὅτι καὶ ἐλάχιστον.
εἰ γὰρ μή, μετρήσουσί τινα ἀριθμὸν οἱ ΑΒ ἐλάσσο-
να ὄντα τοῦ Γ. μετρείτωσαν τὸν Δ. καὶ ὁσάκις ὁ
Α τὸν Δ μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Ε·
ὁσάκις δὲ ὁ Β τὸν Δ μετρεῖ, τοσαῦται μονάδες ἔστω-
σαν ἐν τῷ Ζ. ὁ μὲν Α ἄρα τὸν Ε πολλαπλασιάσας
τὸν Δ πεποίηκεν. ὁ δὲ Β τὸν Ζ πολλαπλασιά-
σας τὸν Δ πεποίηκεν. ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν
ΑΕ τῷ ἐκ τῶν ΒΖ. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕ-
τως ὁ Ζ πρὸς τὸν Ε. οἱ δὲ ΑΒ πρῶτοι. οἱ δὲ πρῶ-
τοι καὶ ἐλάχιστοι. οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν
αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε μείζων τὸν μεί-
ζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα· ὁ Β ἄρα τὸν Ε με-
τρεῖ ὡς ἑπόμενος ἑπόμενον. καὶ ἐπεὶ ὁ Α τοὺς ΒΕ
πολλαπλασιάσας τοὺς ΓΔ πεποίηκεν. ἔστιν

ἄρα ὡς ὁ Β πρὸς τὸν Ε. οὕτως ὁ Γ πρὸς τὸν Δ. μετρεῖ δὲ
ὁ Β τὸν Ε. μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ, ὁ μείζων τὸν ἐλάσσο-
να. ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα οἱ ΑΒ μετροῦσι
τινὰ ἀριθμὸν ἐλάσσονα ὄντα τοῦ Γ. ὅταν οἱ ΑΒ
πρῶτοι πρὸς ἀλλήλους ὦσιν. ὁ Γ ἄρα ἐλάχιστος
ὢν ὑπὸ τῶν ΑΒ μετρεῖται. μὴ ἔστωσαν δὴ οἱ ΑΒ
πρῶτοι πρὸς ἀλλήλους. καὶ εἰλήφθωσαν ἐλάχιστοι
ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς ΑΒ οἱ ΖΕ·
ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν ΑΕ τῷ ἐκ τῶν ΒΖ. καὶ ὁ Α
τὸν Ε πολλαπλασιάσας τὸν Γ ποιείτω. καὶ ὁ Β ἄρα
τὸν Ζ πολλαπλασιάσας τὸν Γ πεποίηκεν· οἱ ΑΒ
ἄρα τὸν Γ μετροῦσιν. λέγω δὴ ὅτι καὶ ἐλάχιστον. εἰ
γὰρ μή, μετρήσουσί τινα ἀριθμὸν οἱ ΑΒ ἐλάσσο-
να ὄντα τοῦ Γ. μετρείτωσαν τὸν Δ. καὶ ὁσάκις μὲν
ὁ Α τὸν Δ μετρεῖ. τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Η·
ὁσάκις δὲ ὁ Β τὸν Δ μετρεῖ. τοσαῦται μονάδες ἔστω-
σαν ἐν τῷ Θ. ὁ μὲν Α ἄρα τὸν Η πολλαπλασιάσας
τὸν Δ πεποίηκεν. ὁ δὲ Β τὸν Θ πολλαπλασιάσας
τὸν Δ πεποίηκεν. ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν ΑΗ τῷ
ἐκ τῶν ΒΘ. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β. οὕτως ὁ Θ
πρὸς τὸν Η. ὡς δὲ ὁ Α πρὸς τὸν Β. οὕτως ὁ Ζ πρὸς
τὸν Ε. καὶ ὡς ἄρα ὁ Ζ πρὸς τὸν Ε. οὕτως ὁ Θ πρὸς
τὸν Η. οἱ δὲ ΖΕ ἐλάχιστοι. οἱ δὲ ἐλάχιστοι μετροῦσι
τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις. ὅ τε μείζων
τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα. ὁ Ε ἄρα
τὸν Η μετρεῖ. καὶ ἐπεὶ ὁ Α τοὺς ΗΕ πολλαπλασιάσας